σπεύδουσαν αὐτῶν τοὺς πεπασμοὺς ὡς τάχος,
ῥοπὰς δὲ τῆσδε τῶδ᾽ ἄκει παρατρέπων
κρίσεις ἐπίσχειν τὰς ἄγαν σωτηρίους,
ἢ καὶ μεθιστῶν χυμὸν εἰς ἐσωτέρους
καὶ τούσδε πολλῷ μαλθακωτέρους τόπους,
μακρῷ γε χείρους τὰς νόσους καθιστάναι,
καὶ δὴ νοσοῦσι πημονὴν μᾶλλον φέρειν
ἀντ᾽ ὠφελείας, φροῦδα μηκύνων νόσους
ἢ καὶ μόρον πρόωρον ἀθλίοις φέρων.

ΙΑ. Ὅπως ποτ᾽ ἂν χρήσαιτο γάρ τις τῷδ᾽ ἄκει
οὐκ ὠφελήσει ταῖσδε πώποτ᾽ ἐν νόσοις·
εἰ τοῦτ᾽ ἀφειδῶς δίς τε τρίς τε προσλάβοι,
δράσει κενὴν ξύμπτωσιν ἀγγείων ὅλων,
βραδύν τε θήσει τῶν ῥοωδῶν τὸν τρόχον,
οἴσει τε δεινὰ πάντα τἀξ ἀπεψίας,
τἀκ δυσκινησίας τε τῶνδε πάνθ᾽ ὅσα.
εἰ τῷδε δ᾽ αὖ χρήσαιτο φειδωλῶς ἅπαξ
ἢ μετρίως σπεύσει τε τῶνδε τὸν τρόχον,
ἠπειγμένον δράσει τε πῦρ αὔξων πλέον
ἤπερ παρῆν πρὶν, καὶ παροξύνων νόσον·
ἑκατέρως οὖν τὴν ἴσην οἴσει βλάβην,
πρόσθεν σάφ᾽ ὡς εἴρηκα, κἂν ἐναντίαν.
τάδ᾽ αὐτά που δράσειεν ἢν φλέβ᾽ ὀψέ πως
νόσων κατ᾽ αὔξην ἢ κατ᾽ ἀκμήν τις τάμῃ·
ὥστ᾽ οὐχ ὅπως ταῖσδ᾽ αἷς ἀνοίκειον πάνυ
ἄκος τόδ᾽ ἐστὶν, ἀλλὰ κἀκείναις ὅσαις